www.tezaurliturgic.ro



ΤΟ ΛΕΙΨΑΝΟΝ ΤΟΥ ΑΓΙΟΥ ΣΠΥΡΙΔΩΝΟΣ.

λιθογραφία Κερκύρας, φωκζ'

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

ΠΑΡΑΚΛΗΣΕΩΣ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΣΠΥΡΙΔΩΝΟΣ

ΕΠΙΣΚΟΠΟΥ ΤΡΙΜΥΘΟΥΝΤΟΣ

ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

ΠΑΤΡΟΣ ΚΑΙ ΠΡΟΣΤΑΤΟΥ ΚΕΡΚΥΡΑΣ

ΣΥΝΤΕΘΕΙΣΑ

ΥΠΟ

ΤΟΥ ΙΕΡΟΜΟΝΑΧΟΥ

ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΤΥΠΑΛΔΟΥ

ΙΕΡΟΚΗΡΥΚΟΣ ΚΑΙ ΔΙΔΑΣΚΑΛΟΥ

ΤΗΣ ΙΕΡΑΣ ΘΕΟΛΟΓΙΑΣ

ΚΕΡΚΥΡΑ.

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΤΗΣ ΚΥΒΕΡΝΗΣΕΩΣ.

1827.

www.tezaurliturgic.ro

### Τοῖς Εντευξομένοις

### Ο Ιερομόναχος Κωνςαντῖνος Τυπάλδος

### Εν Κυρίῳ χαίρειν.

Η πρὸς τὸν Θαυματουργὸν Ιεράρχην Σπυρίδωνα ἔνθερμος εὐλάβειά μου παρεκίνησέ με νὰ συντάξω τὸν Παρακλητικὸν τοῦτον Κανόνα· μ' ἐφάνη δὲ καλὸν ἐν ταὐτῷ νὰ τὸν ἐκδώσω διὰ τοῦ Τυπογραφικοῦ φωτὸς πρὸς χρῆσιν καὶ ἄλλων εὐλαβῶν Ορθοδόξων, ἐπειδὴ καὶ ἔλειπεν ἕως τώρα Υμνολογία τοιαύτη ἀπὸ τὴν ᾀσματικὴν τοῦ Αγίου Ακολουθίαν. Καὶ ἐγὼ μὲν ἐπάσχησα ὅσον τὸ δυνατὸν νὰ μιμηθῶ εἰς τὴν σύνθεσιν, τὸν τρόπον καὶ τὸ ὕφος τῶν παλαιῶν Εκκλησιαςικῶν Υμνογράφων, ὅ,που εἰς τοιοῦτον εἶδος Ποιημάτων ἁρμόζει. Υμεῖς δὲ, Αδελφοὶ ἐν Χριςῷ, δέξασθε εὐμενῶς τὸν μικρὸν τοῦτον κόπον μου, ἀντιμετροῦντες ὄχι τὸ πρᾶγμα, ἀλλὰ τὸν κατὰ Θεὸν πόθον καὶ σκοπόν μου.

Ερρωσθε.

Εν Κερκύρᾳ, Ετους Σωτηρίου ᾳ ω κ ζ'. Οκτωβρίου ιε'.

122724

www.tezaurliturgic.ro

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

## ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΣΠΥΡΙΔΩΝΟΣ

## ΕΠΙΣΚΟΠΟΥ ΤΡΙΜΥΘΟΥΝΤΟΣ, ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ.

Εὐλογήσαντος τοῦ Ἱερέως, ἀρχόμεθα στιχολογεῖν τό, Κύριε εἰσάκουσον. τὸ, Θεὸς Κύριος. καὶ τὰ παρόντα Τροπάρια, Ἦχος, δ'.

Τῷ Θεοφόρῳ εὐλαβῶς προσπελάσωμεν, οἱ χαλεπῶν ὑπὸ δεινῶν κατεχόμενοι, ἐν κατανύξει κράζοντες ψυχῆς πρὸς αὐτὸν, Ἅγιε βοήθησον, Ἱεράρχα Σπυρίδων, πρόφθασον καὶ λύτρωσαι λυπηρῶν σοὺς ἱκέτας, ὡς παῤῥησίαν ἔχων πρὸς Θεόν. σὲ γὰρ Προστάτην οἱ πάντες κεκτήμεθα.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομεν ἀεὶ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

Εἶτα ὁ Ν'. καὶ εὐθὺς ὁ Κανὼν τοῦ Ἁγίου.

www.tezaurliturgic.ro



Ωδὴ, ά. ἦχος, πλ. δ'. Αρματηλάτην Φαραώ.

Αγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Από χειλέων ἐναγῶν προσάδω σοι, ὕμνον Σπυρίδων σοφὲ· ἀλλ' εὐμενῶς τοῦτον, Ιεράρχα πρόσδεξαι, καὶ τὸν Χριςὸν δυσώπησον, συμπαθέςατε Πάτερ, τοῦ οἰκτηρῆσαί με τάχιον· βέβλημαι γὰρ ὅλος τοῖς πάθεσιν.

Αγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Αγαλλομένη ἡ Κερκύρα ἅπασα, τὴν σὴν φαιδρὰν ἑορτὴν, ἄγει ἐτησίως, Πάτερ παμμακάριςε, Σπυρίδων ἁγιώτατε, ἣν ἀεὶ περιέπειν, μὴ διαλείπῃς θεσπέσιε, πρέσβιν σε πλουτοῦσαν ἀκοίμητον.

Δόξα.

Θεόθεν δῶρον τὸ σὸν σκῆνος ἔνδοξε, ὤφθη Σπυρίδων ἡμῖν, ὃ προφανῶς βρύει, ἰαμάτων χάριτας, καὶ παύει τὰ δυσίατα, τῶν ψυχῶν ἡμῶν πάθη, Θαυματουργὲ Ιερώτατε, ὅθεν εὐφροσύνως τιμῶμέν σε.

Καὶ νῦν. Θεοτοκίον.

Λόγον μοι Λόγε τοῦ Θεοῦ πρυτάνευσον, ὅπως τὸ χαῖρε τῇ σῇ, μητρανάνδρῳ λέξω, χαῖρε ὄλβος ἄσυλος, χαῖρε ἁγνείας σκήνωμα, χαῖρε ῥάβδος ἡ θεία, τοῦ Ααρὼν ἡ βλαστήσασα, χαῖρε μυριώνυμε Δέσποινα.

Ωδὴ, γ'. Οὐρανίας ἁψῖδος.

Αγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ικετεύω Τρισμάκαρ, αἱρετικῶν τάραχον, καὶ τῆς ἀσεβείας τὴν ζάλην, διασκεδάσαι σε· σὺ γὰρ θεόληπτε, τὸν ἀρχηγὸν τῆς γαλήνης, προσκυνεῖν ἐδίδαξας Τριάδα ἔνθεον.

Αγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Επὶ σὲ καταφεύγω, τὸν συμπαθῆ Οσιον, ὅπως σῇ πρεσβείᾳ

www.tezaurliturgic.ro



Σπυρίδων, ῥυσθῶ ὁ δείλαιος, τῆς αἰωνίου ποινῆς, καὶ ἀφορήτου αἰσχύνης, τύχω δὲ λαμπρότητος θείας καὶ χάριτος.

Δόξα.

Ἀληθῶς σὺ ἐδείχθης, Ἀρχιερεὺς ὅσιος, ἄκακος ἀμίαντος Πάτερ, Χριστοῦ ἑπόμενος, διδασκαλίαις ἀεί, καὶ νῦν αὐλίζῃ θεόφρων, ἔνθα φῶς ἀνέσπερον ὡς Ἱερώτατος.

Καὶ νῦν. Θεοτοκίον.

Νοῦν καὶ φρένα καὶ λόγον, δῶρον Θεοῦ εἴληφα, ὅπως ἐπιγνοὺς τὸν Δεσπότην, ἔργοις τιμήσω καλοῖς· ἐγὼ δὲ πάθεσι τὴν δωρεὰν ἀτιμάσας, τὸν δοτῆρα ὕβρισα, Δέσποινα σῶσόν με

Διάσωσον Σπυρίδων μάκαρ, κινδύνων τοὺς σοὺς ἱκέτας, ὅτι πάντες ἡμεῖς ἐν σοὶ θαῤῥοῦντες προστρέχομεν, φρουρὸν καὶ προστάτην σε κεκτημένοι.

Ἐπίβλεψον ἐν εὐμενείᾳ, Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις παρὰ τοῦ Ἱερέως, καὶ Ἐκφώνησις, Ὅτι ἐλεήμων, καὶ φιλάνθρωπος Θεός. Καὶ λέγομεν τὸ παρὸν Τροπάριον, ἦχος, β΄. Πρεσβεία θερμή.

Πρεσβείαν θερμὴν, καὶ δέησιν ἱκέσιον, προσάγαγε νῦν, Σπυρίδων Ἱερώτατε, τῷ Θεῷ, καὶ αἴτησαι, τοῖς πιστοῖς δωρήσασθαι ἄφεσιν, καὶ ἐκ κινδύνων ῥύσασθαι ἡμᾶς, τῆς Νήσου Κερκύρας ὁ ὑπέρμαχος.

Ὠδὴ, δ΄. Σύ μου ἰσχὺς Κύριε.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἄλλην ἡμεῖς, ὡς κιβωτὸν ἁγιάσματος, τὴν τιμίαν, θήκην

www.tezaurliturgic.ro



τοῦ Λειψάνου σου, Πάτερ σοφὲ, ἔχομεν πιςῶς· ἣν περικυκλοῦντες, περιδεῶς ἀτενίζομεν, τῷ θείῳ σου Λειψάνῳ, Ιεράρχα τιμῶντες, τὸν ἐνάρετον βίον σου ἔνδοξε.

Αγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν

Θαῦμα σὺ εἶ, πάνσοφε ἡμῖν θεώμενος· μετὰ πότμον, ἄφθαρτον γὰρ ἔμεινε, τὸ θεῖον σκῆνος, Πάτερ τὸ σόν· δόξα τῷ Κυρίῳ, τῷ οὕτως σὲ θαυμαςώσαντι· ἀλλὰ μὴ διαλείπῃς, τῷ Σωτῆρι πρεσβεύειν, ὑπὲρ πάντων τῶν πίςει ὑμνούντων σε.

Δόξα.

Ἐξ ἀναγκῶν, καὶ πάσης ἄλλης κακώσεως, τὴν σὴν ποίμνην, ῥῦσαι κινδυνεύουσαν, Σπυρίδων Πάτερ θαυματουργὲ, τῶν πιςῶν προςάτα· διὸ μὴ παύσῃ δεόμενος, Χριςοῦ τοῦ φιλανθρώπου, οἰκτειρῆσαι καὶ σῶσαι, τῇ πρεσβείᾳ σου πάντας ἐκ θλίψεως.

Καὶ νῦν. Θεοτοκίον.

Ὅλος ἐσμὸν, ἁμαρτιῶν περικείμενος, δεδεμένος, ὅλος πλημμελήμασι, καὶ δουλωθεὶς ὅλος τῷ ἐχθρῷ, ὅλος προαιρέσει, ὑπέκυψα τῷ ἀλάςορι· οὐκ ἔχω πλήν σου ἄλλην, προσδοκίαν Παρθένε, σπεῦσον ῥῦσαί με ὅπως δοξάζω σε.

Ωδὴ, ε΄. Ινα τί μὲ ἀπώσω.

Αγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν·

Ἐλλαμπόμενος Πάτερ, αἴγλῃ τῇ τοῦ Πνεύματος, πᾶσιν ἀπήςραψας, θεολόγῳ γλώττῃ, τῆς Τριάδος τὸ φέγγος τὸ ἄχραντον, θεῖε Ιεράρχα, πιςῶν τὸ κλέος καὶ ἡ δόξα, τῆς Συνόδου τῆς πρώτης ὑπέρμαχε.

Αγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Νοερῶς σὺν Αγγέλοις, νῦν συναυλιζόμενος, Χριςὸν δυσώπησον, τῶν παθῶν ῥυσθῆναι, καὶ κινδύνων τοὺς σὲ μακαρί-

www.tezaurliturgic.ro



ζοντας, λειτουργὲ ὑψίςου, Σπυρίδων Πάτερ θεοφόρε, ὡς λαχὼν παῤῥησίας πρὸς Κύριον.

Δόξα.

Ἐν τῇ θείᾳ σου μνήμῃ, Ἄγγελοι καὶ Δίκαιοι πανηγυρίζουσιν, ὡς τῶν πρωτοτόκων, Ἐκκλησίαν φαιδρύνας σαῖς πράξεσι, σύσκηνον λαβόντες, τὴν σὴν ψυχὴν Σπυρίδων μάκαρ, τὸ δὲ σῶμα ἡμῖν τεθησαύρισαι.

Καὶ νῦν. Θεοτοκίον.

Τὸν ἀχώρητον Λόγον, ἄνθρωπον γενόμενον, ἐν σοὶ ἐχώρησας, ὃν ἀεὶ δυσώπει, ὡς υἱόν σου Παρθένε καὶ Κύριον, πάσης ἐναντίας, ἐπιβουλῆς νῦν ἀπαλλάξαι, τοὺς σοὺς δούλους ἁγνὴ θεονύμφευτε.

Ὠδὴ, ς'. Τὴν δέησιν ἐκχεῶ.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Τὴν δέησιν ἐκτενῶς πρὸς Κύριον, μὴ ἐλλείπῃς Ἱεράρχα προσάγειν, ὑπὲρ ἡμῶν, τῶν τιμώντων ἐκ πόθου, τὴν σὴν σεβάσμιον μνήμην ἀοίδιμε, Σπυρίδων καύχημα πιςῶν, Τριμυθοῦντος Ποιμὴν ὁ πανάριςος.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Παράκλησιν οἱ πιςοὶ εὑράμενοι, τὴν Σορὸν τὴν ἱερὰν σοῦ Λειψάνου, πάντες θερμῶς, προσερχόμεθα ταύτῃ, καὶ σὲ λιτάζοντες πόθῳ κραυγάζομεν, Σπυρίδων, χάρις τῷ θεῷ, τῷ Προςάτην ἡμῖν σὲ δωρήσαντι.

Δόξα.

Προςάτην μου τῆς ζωῆς ὡς εὕροιμι, θεοφόρε Ἱεράρχα Κυρίου, τῶν δυσχερῶν, διαλύοντα νέφος, καὶ ψυχικήν μοι γα-

www.tezaurliturgic.ro



λήνην δωρούμενον, πρεσβείαις σου ταῖς ἱεραῖς, ὦ Σπυρίδων Πατέρων ἀγλάϊσμα.

Καὶ νῦν. Θεοτοκίον.

Οὐ κρύπτω σου τὸν βυθὸν τοῦ ἐλέους, καὶ τὴν βρύσιν τῶν ἀπείρων θαυμάτων καὶ τὴν πηγὴν, τὴν ἀέναον ὄντως, τῆς πρὸς ἐμὲ συμπαθείας σου Δέσποινα· ἀλλ᾽ ἅπασιν ὁμολογῶ, καὶ βοῶ καὶ κηρύττω καὶ φθέγγομαι.

Διάσωσον Σπυρίδων μάκαρ, κινδύνων τοὺς σοὺς ἱκέτας, ὅτι πάντες ἡμεῖς ἐν σοὶ θαῤῥοῦντες προςρέχομεν, φρουρὸν καὶ προςάτην σε κεκτημένοι.

Ἄχραντε ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Αἴτησις παρὰ τοῦ Ιερέως· καὶ μετὰ τὴν Εκφώνησιν,

τὸ παρὸν Κοντάκιον,

ἦχος, β'. Προςασία τῶν Χριςιανῶν.

Προςασία εἶ τῶν εὐσεβῶν πάντων ἄμαχος, ἱκεσία πρὸς τὸν ποιητὴν ἀκαταίσχυντος· μὴ παρίδῃς οὖν εὐλαβῶν ἱκέσιον φωνήν· ἀλλὰ φάνηθι ὡς συμπαθὴς, Σπυρίδων Πάτερ ἀρωγὸς, τοῖς θερμῶς σοι κραυγάζουσι· τάχυνον δὴ παμμάκαρ, καὶ σπεῦσον Χριςῷ πρεσβεῦσαι, τοῦ οἰκτειρῆσαι νῦν ἡμᾶς, Θεοφόρε τοὺς τιμῶντάς σε.

Οἱ Αναβαθμοὶ, τὸ α'. Αντίφωνον τοῦ δ'. ἤχου.

Προκείμενον. Τὸ ςόμα μου λαλήσει σοφίαν.

Ϛίχ. Ακούσατε ταῦτα πάντα τὰ ἔθνη.

Τοῦ Κυρίου δεηθῶμεν. Εκφώνησις, Οτι Αγιος εἶ ὁ Θεὸς ἡμῶν, καὶ Αγίοις ἐπαναπαύῃ· Τὸ, Πᾶσα πνοή. Εἶτα, Καὶ

www.tezaurliturgic.ro



ὑπὲρ τοῦ καταξιωθῆναι. Εὐαγγέλιον, κατὰ Ιωάννην. Ο μὴ εἰσερχόμενος διὰ τῆς θύρας· Δόξα, Ταῖς τοῦ Ιεράρχου πρεσβείαις. Καὶ νῦν, Ταῖς τῆς Θεοτόκου πρεσβείαις.

Ϛίχ. Ελέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου.

Καὶ ψάλλομεν τὸ παρὸν Ιδιόμελον, ἦχος, Πλ. β'.

Oτε καιρὸς τῆς ἀπὸ γῆς ἐκδημίας σου, τότε τὴν Ιεράν σου ψυχὴν θεῖοι Νόες ἀνελάμβανον, Ιεράρχα ἀοίδιμε, καὶ πρὸς οὐρανίους μονὰς, ἔνθα Ιεραρχῶν ἁπάντων ὁ σύλλογος, γηθοσύνως εναπέθεντο· τὸ δὲ σεβάσμιον σκῆνός σου Τριὰς ἡ μεγαλουργὸς ἀφθαρτίσασα, πηγὴν θαυμάτων ἀνέδειξε, καὶ πάντων [illegible]δόξων παράκλησιν· διὸ καὶ ἡμεῖς συνελθόντες, Αγιώτατε Πάτερ, Σπυρίδων Σοφὲ, πόθῳ καὶ δέει τὴν θείαν περικυκλοῦμένην σου Λάρνακα, καὶ τὸ Ιερὸν καὶ ἅγιον Σῶμά σου περιχαρῶς ἀσπαζόμενοι, ῥῶσιν ψυχῶν τε καὶ σωμάτων λαμβάνομεν, μεγαλύνοντες τὸν σὲ δοξάσαντα Κύριον, ᾧ καὶ πρεσβεύεις ἀδιαλλείπτως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

O Ιερεὺς. Σῶσον ὁ Θεὸς τὸν λαόν σου. Τὸ, Κύριε ἐλέησον ιβ'.

Εκφώνησις. Ελέει, καὶ οἰκτιρμοῖς. Καὶ τὰ λοιπά.

Ωδὴ, ζ'. Παῖδες Εβραίων ἐν καμίνῳ.

Αγιε τοῦ Θεοῦ Πρέσβευε ὑπὲρ ἡμῶν.

Πλῆσον χαρᾶς καὶ εὐφροσύνης, τοὺς τῷ θείῳ νῦν Ναῷ σου προσιόντας, καὶ Χριςῷ τῷ θεῷ, συμφώνως μελῳδοῦντας, εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Αγιε τοῦ θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Πρόςηθι πάντων Ιεράρχα, τῶν ἐχόντων σε φρουρὸν ἀεὶ καὶ ῥύςην, καὶ Χριςῷ τῷ θεῷ, ἀπαύςως μελῳδούντων, εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

www.tezaurliturgic.ro



Δόξα.

Μή με ἐάσῃς Ἱεράρχα, ἀπροςάτευτον βοῶσοι ἐκ καρδίας· ἀλλὰ ῥῦσαιο νῦν, ἐκ πονηρῶν ἀνθρώπων, τὰς μηχανὰς καὶ ἔνεδρα, τούτων, Πάτερ διαλύων.

Καὶ νῦν. Θεοτοκίον.

Σκέπη γενοῦ καὶ προςασία, καὶ ἀντίληψις καὶ καύχημα Παρθένε, γυμνωθέντι μοι νῦν, ἁπάσης βοηθείας, ἀβοηθήτων δύναμις, καὶ ἐλπὶς ἀπηλπισμένων.

Ωδὴ, η'. Τὸν ἐν ὄρει Ἁγίῳ δοξασθέντα.

Αγιε τοῦ θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Τὴν τιμίανσου Λάρνακα κυκλοῦντες, εὐωδία; πληρούμεθα ἀῤῥήτου, ὅθεν πιςῶς, βοῶμένσοι Θεόληπτε, πλήρωσον εὐχάςτε, θερμὰς καὶ ἱκεσίας, τῶν σὲ ἀνευφημούντων.

Αγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Μὴ παρίδῃς, Σπυρίδων ἱκεσίαν, τοῦ σοῦ δούλου, θερμῶς σοι ἀνακράζω· ἀλλ' ἐκτενῶς τὸν Κύριον ἱκέτευε, δοῦναίμοι τὴν λύσιν, τῶν πλημμελημάτων, ὧν ἔπραξα ὁ τάλας.

Δόξα.

Ἰδοὺ Πάτερ, οἱ πάντες ὡς λιμένα, σὲ εὑρόντες, σωτήριον ἐν ζάλαις, ἀπὸ ψυχῆς, βοῶμεν καὶ νῦν πρόφθασον, φάνηθι προςάτης, πάντων Ορθοδόξων, ἀντίπαλος βαρβάρων.

Καὶ νῦν. Θεοτοκίον.

Περιστάσεις, καὶ θλίψεις καὶ ἀνάγκαι, εὕροσάν με Ἁγνὴ, καὶ συμφοραὶ τοῦ βίου, καὶ πειρασμοί με, πάντοθεν ἐκύκλωσαν· ἀλλὰ πρόςηθί μοι, καὶ ἀντιλαβοῦ μου, τῇ κραταιᾷ σου σκέπῃ.

www.tezaurliturgic.ro



Ωδὴ, θ'. Ἐξέστη ἐπὶ τούτῳ ὁ Οὐρανός.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Πληροῦμαι εὐφροσύνης πνευματικῆς, θυμηδίας ἀῤῥήτου μακάριε, τὴν σὴν σεμνὴν, ἀναλογιζόμενος βιοτὴν, τὰς ἀρετὰς τὰ θαύματα, καὶ τὴν θείαν χάριν τὴν πρὸς Χριστοῦ, δοθεῖσάν σοι θεόφρων, Σπυρίδων Ἱεράρχα· διὸ σὺν πόθῳ μακαρίζω σε.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Οὐκ ἔνι ἀριθμήσασθαι δυνατὸν, τὰ πολλά σου καὶ μέγιστα θαύματα, Πάτερ σοφὲ, ἅπερ ἡ τιμία σου προφανῶς, θαυματοφόρος, Ἅγιε, Λάρναξ τοῖς ἐν πίστει εἰλικρινεῖ, ἐκβλύζει προσιοῦσιν, ὡς ἰάματα, Σπυρίδων· διό σε πάντες μακαρίζομεν.

Δόξα.

Τὴν δέησίν μου ταύτην τὴν πενιχρὰν, καὶ παράκλησιν Πάτερ τρισόλβιε, ὡς συμπαθὴς, δέξαι ἐνεχθεῖσαν πανευλαβῶς, καὶ τὰς αἰτήσεις πλήρωσον· δύνασαι γὰρ ἔχων πρὸς τὸν Θεὸν, Σπυρίδων Ἱεράρχα, πολλὴν τὴν παῤῥησίαν, τῶν Ὀρθοδόξων ὁ ὑπέρμαχος.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν δέησίν μου δέξαι τὴν πενιχρὰν, καὶ κλαυθμὸν μὴ παρίδῃς καὶ δάκρυα, καὶ στεναγμὸν, ἀλλ' ἀντιλαβοῦ μου ὡς ἀγαθὴ, καὶ τὰς αἰτήσεις πλήρωσον· δύνασαι γὰρ πάντα ὡς πανσθενοῦς, Δεσπότου Θεοῦ Μήτηρ· εἰ νεύσεις ἔτι μόνον, πρὸς τὴν ἐμὴν οἰκτρὰν ταπείνωσιν.

Καὶ εὐθὺς συνάπτομεν τὰ τῆς Θεοτόκου Μεγαλυνάρια.

Ἄξιον ἐστὶν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον· τὴν

www.tezaurliturgic.ro



ἀειμακάριστον καὶ Παναμώμητον, καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν Τὴν τιμιωτέραν τῶν Χερουβὶμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφὶμ· τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον σὲ μεγαλύνομεν.

Τὴν ὑψηλοτέραν τῶν οὐρανῶν, καὶ καθαρωτέραν λαμπηδόνων ἡλιακῶν, τὴν λυτρωσαμένην ἡμᾶς ἐκ τῆς κατάρας, τὴν Δέσποιναν τοῦ Κόσμου ὕμνοις τιμήσωμεν.

Ἀπὸ τῶν πολλῶν μου ἁμαρτιῶν, ἀσθενεῖ τὸ σῶμα, ἀσθενεῖ μου καὶ ἡ ψυχή· πρὸς σὲ καταφεύγω τὴν Κεχαριτωμένην, ἐλπὶς ἀπηλπισμένων, σύ μοι βοήθησον.

Δέσποινα καὶ Μήτηρ τοῦ Λυτρωτοῦ, δέξαι παρακλήσεις ἀναξίων σῶν ἱκετῶν, ἵνα μεσιτεύσῃς πρὸς τὸν ἐκ τοῦ τεχθέντα· ὦ Δέσποινα τοῦ Κόσμου, γενοῦ μεσίτρια.

Ψάλλομεν προθύμως σοὶ τὴν ᾠδὴν, νῦν τῇ πανυμνήτῳ Θεοτόκῳ χαρμονικῶς· μετὰ τοῦ Προδρόμου, καὶ πάντων τῶν Ἁγίων, δυσώπει Θεοτόκε τοῦ οἰκτειρῆσαι ἡμᾶς.

Ἵλεως γενοῦ μοι τῷ ταπεινῷ, ὅτι πλὴν σου ἄλλην, οὐ γινώσκω καταφυγὴν, ὁ ἐν ἁμαρτίαις, παντοίαις πεπλησμένος· ἐλέησόν με μόνη Χριστιανῶν ἡ ἐλπίς.

Καὶ τοῦ Ἁγίου τὰ ἑφεξῆς, ληφθέντα ἐκ τῆς αὐτοῦ Φυλλάδος· ἐκτὸς τοῦ τελευταίου, ὅπερ ἐστὶ τοῦ Συγγραφέως τοῦ δε τοῦ Κανόνος.

Χαίροις Τριμυθοῦντος ἡ καλλονή. Χαίροις Κερκυραίων ὁ σοφώτατος Ἰατρός. Χαίροις τῆς Τριάδος ὁ θεῖος μυστολέκτης· Πατέρων μέγα κλέος, Σπυρίδων Ἅγιε.

Τῶν θαυμάτων πέλαγος γεγονὼς, πάσης τρικυμίας, ἐν θα-

www.tezaurliturgic.ro



λώσῃ τε καὶ ἐν γῇ· μέγιστε Σπυρίδων, διάσωζε εὐχαῖς σου τοὺς ἐπικαλουμένους μέγα σὸν ὄνομα.

Αἰνέσωμεν πάντες χαρμονικῶς, τὸν θερμὸν Προστάτην, καὶ ὑπέρμαχον κραταιὸν, τὸν σώσαντα Νῆσον, ἁλώσεως βαρβάρων, Σπυρίδωνα Κερκύρας μέγιστον καύχημα.

Ἀξίως σὲ μέλποντες τὸν λαμπρὸν, Κερκύρας φωστῆρα, καὶ εὐήκοον βοηθὸν, καὶ σὲ δυσωποῦντες οὐ παύσωμεν ἀφθόνως, ἵνα ταῖς σαῖς πρεσβείαις ῥυσθῶμεν βλάψεων.

Τίς ἐξαριθμήσει σου τὴν πληθὺν, τῶν θαυμάτων Μάκαρ; ἐξανέστησας γὰρ νεκροὺς· λοίμην, πεῖναν, νόσους, καὶ δυσμενεῖς κα... ς, καὶ ἐκ χειρῶν ἀνόμων ἡμᾶς ἐξήγαγες.

Χαίροις ὀρθοδόξων προασπιστὰ, κακοδόξων μάστιξ, Τριμυθοῦντος κλεινὲ Ποιμὴν, Κερκύρας Προστάτης, πατήρ τε καὶ Ἀκέστωρ, ἐμοῦ δὲ θυμηδία, Σπυρίδων Ἅγιε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαὶ, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκὰς, οἱ Ἅγιοι πάντες μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τὸ σωθῆναι ἡμᾶς.

Τὸ, Τρισάγιον. Δόξα. καὶ νῦν. Παναγία Τριάς. Πάτερ ἡμῶν· ὁ Ἱερεὺς· Ὅτι σοῦ. Τὰ Τροπάρια, ἦχος, Πλ. β΄. Ἐλέησον ἡμᾶς Κύριε. Δόξα. Κύριε ἐλέησον ἡμᾶς. Καὶ νῦν. Τῆς εὐσπλαγχνίας τὴν πύλην. Αἴτησις παρὰ τοῦ Ἱερέως, ὡς δεδήλωται. Ἐπάκουσον ἡμῶν ὁ Θεός. Καὶ μετὰ τὴν Ἐκφώνησιν, ψάλλομεν τὰ παρόντα Ἐξαποστειλάρια.

Ἀπόστολοι ἐκ περάτων.

Τῶν ~~Κερκυραίων~~ τὰ πλήθη, συναθροισθέντα ἐνθάδε, ἐν Ἱεράρχου Τεμένει, Σπυρίδωνος νῦν σκιρτάτω, καὶ ἀσπαζέσθω τὸ θεῖον, περιχαρῶς τούτου σκῆνος.

www.tezaurliturgic.ro



Ο τῆς Κερκύρας Προςάτης, τῆς Τριμυθοῦντος ὁ Ποιμὴν. αἱρετιζόντων ἡ μάςιξ, Σπυρίδων φίλε Κυρίου, μὴ διαλείπης πρεσβεύειν, ὑπὲρ ἡμῶν Ιεράρχα.

Καὶ σὲ προβάλλομαι πρέσβιν, πρὸς τὸν οἰκτίρμονα θεὸν, ἵν' ὡς φιλάνθρωπος λύσιν, παράσχῃ κἀμοὶ πταισμάτων· παρακαλῶ οὖν σε Πάτερ, Σπυρίδων μὴ ἐπιλάθῃ.

Ιερουργὲ Ιεράρχα, καὶ Αγιώτατε Πάτερ, Αρχιερέων ἡ δόξα, τὸ κλέος τῶν Ορθοδόξων, παράδοξόν σου τὸ θαῦμα, πῶς καὶ νεκρὸς, ὡς ζῶν φαίνῃ!

Εἶτα γίνεται ἡ Απόλυσις.

ΤΕΛΟΣ.